Ephraem Syrus; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)
1732 Seite 77



περ γὰρ Ἰακὼβ Λάβαν τῷ Σύρῳ, οὕτω προσόρα σὸν πρόσωπον πρὸς αὐτόν. Γνωστικὸν σεαυτὸν ἀποκαλεῖς; ἐκ τῶν ἔργων σου ἐπίγνωθι σαυτόν· ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ γνῶσις χωρὶς ἐργασίας ἀργή ἐστι. Σημεῖον ἐναρέτου βίου ἐπὶ νεωτέρῳ μοναχῷ, ἀπέχεσθαι ἐκ τῆς πολυοινίας καὶ τῆς πολυλογίας ἐν ταπεινοφροσύνῃ· ὁ γὰρ ἀγαπῶν ταῦτα, οὐ τελέσει βίον ἐνάρετον. Μὴ βιάζου σὸν ἀδελφὸν πίνειν οἶνον εἰς μέθην, κἂν διὰ χρόνου ἐγεύσατο. ἐν πολλῷ γὰρ χρόνῳ κατασκευάζεται ναῦς, καὶ ῥοπῇ προσκρούσασα συντριβήσεται. Νέον πραῢν ἀγαπάτω σου ἡ ψυχή, καὶ μὴ ἐπιθῇς αὐτῷ βάρος ὑπὲρ δύναμιν, ὅπως τὴν ψυχὴν αὐτοῦ σώσῃς ἐν Κυρίῳ, καὶ κομίσῃ τὸν ἀμαράντινον τῆς δόξης στέφανον, φανερωθέντος τοῦ Ἀρχιποίμενος. Περιτείχισον τὴν οἰκίαν πάντοθεν, καὶ μὴ ἀφίῃς διορυγὴν ἔσεσθαι ἐν τῷ προτειχίσματί σου, μήποτε δι᾽ αὐτῆς εἰσελθὼν ὁ ἐχθρὸς συλήσῃ σὸν οἶκον, καὶ ἔσῃ αἴτιος τῆς ἀπωλείας. Πάρεχε τῷ χρῄζοντι, καὶ μὴ λέγε, οὐ χρείαν ἔχει, μήποτε ἡ ἀγαθὴ παιδεία ἔξοδον εὕρῃ τὴν ἔνδειαν. Ἐξ ὧν ὁ Κύριος ᾠκονόμησε, φρόντισον αὐτῷ, μήποτε, ὡς ἄστοργοι, καὶ ἀνελεεῖς κριθῶμεν. Ἀκούσωμεν, ἀδελφοί, τοῦ λέγοντος· ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα· οἱ γὰρ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδας, καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν· ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαργυρία. Ἐν ὅλῃ δυνάμει σου τίμα τὸν πατέρα σου, καὶ μὴ ἀκύρους ποιήσῃς θεσμοὺς γεννήσαντός σε ἐν Κυρίῳ· ἐν τούτῳ γὰρ τῷ τρόπῳ, πονηροὶ δαίμονες οὐ κατισχύσουσι κατὰ σοῦ. Ταπείνωσον σφόδρα τὴν ψυχήν σου ἔναντι Κυρίου, καὶ εὑρήσεις χάριν. Οἴκους γὰρ ὑβριστῶν κατασπᾷ Κύριος, ἐφύτευσε δὲ ἀντ᾽ αὐτῶν πραεῖς. Μὴ ὀνείδιζε ἄνθρωπον ἀποστρέφοντα ἀπὸ ἁμαρτίας, μὴ δὲ ἀτίμαζε ἄνδρα ἐν γήρει αὐτοῦ, καὶ γὰρ ἐξ ἡμῶν γηράσκουσι. Μὴ ἀμέλει ἀῤῥώστου, διότι γέγραπται· ὃς φράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι ἀσθενοῦς, καὶ αὐτὸς ἐπικαλέσεται, καὶ οὐκ ἔσται ὁ εἰσακούων. Μισητὸς ἐν τῇ παροικίᾳ αὐτοῦ γίνεται ὁ μεταφέρων λόγους ἐξ οἰκίας εἰς οἰκίαν· ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει. Μὴ εἰσέλθῃς εἰς κελλίον ἀδελφοῦ σου, πρὶν κρούσεις τὴν θύραν, οὐ γὰρ συναρμόζει ταραχὴ τῇ ἡσυχίᾳ. Συνετὸς Ἡγούμενος ἐπαλείψει ψυχὰς ἀδελφῶν αὐτοῦ ἐν τῇ νουθεσίᾳ καὶ διδασκαλίᾳ τοῦ Κυρίου· ὁ δὲ καταφρονῶν ζημιωθήσεται. Ἀπόνεμε τιμὴν γέρουσι

A bulaverit. Sicut enim Jacob egit cum Laban Syro: ita & tu vultum tuum ad ipsum convertere debes. Scientem atque intelligentem teipsum denominas? ex tuis te operibus cognosce. Nam sicut corpus sine spiritu mortuum est, ita quoque scientia absque operatione est otiosa atque supervacanea. Signum bene institutæ vitæ in novitio monacho est abstinere a vinolentia & loquacitate, in humilitate: nam qui illis gaudet, vitam bonam (Gen. 29.)
B atque religiosam peragere non poterit. Ne fratrem tuum ad ebrietatem bibere vinum cogas, etiamsi diu multumque id degustaverit: multo enim tempore exstruitur navis, quæ minimo ictu ac momento temporis conteritur. Adolescentem mansuetum tua diligat anima, & supra vires ne gravaveris eum, ut animam ipsius salves in Domino, referasque immarcescibilem gloriæ coronam, cum apparuerit pastorum Princeps. Undique circum-
C munitam tene domum tuam, & ne patiaris perfodi præmunitionem tuam: ne forte per foramen ingressus inimicus, domum deprædetur ac spoliet, sisque ruinæ causa & auctor. Præbe indigenti, & noli dicere: non opus habet: ne forte indigentiæ nomine recta disciplina labefactetur. Ex quibus dispensavit tibi Dominus, cura illum, ne forte tamquam amoris affectu carentes atque immisericordes judicemur. Audiamus, fratres, eum (Sap. Sirac. 4.)
D qui ait: *Habentes alimenta, & quibus tegamur, his contenti simus. Qui autem volunt divites fieri, incidunt in tentationem, & laqueos, & desideria multa, insana & nociva, quæ mergunt homines in interitum & perditionem. Radix enim omnium malorum est cupiditas.* Totis viribus honora patrem tuum, & ne irritas facias leges ejus qui te genuit in Domino: eo enim modo non prævalebunt adversum te improbi dæmones. Animam tuam valde coram (1. Tim. 6.)
E Domino humilia, & gratiam invenies. Domos quippe contumeliosorum diruit Dominus; illorum autem loco plantat mites. Hominem a peccato se avertentem conviciis ne excipias: neque virum in senectute sua dedecore afficias: etenim ex nobis quoque senescunt. Infirmum ne asperneris aut negligas: quoniam scriptum est: *Qui obturat aures suas, ne infirmum audiat, & ipse invocabit, & non erit qui exaudiat.* Odibilis in vicinia atque (Sap. Sirac. 8.) (Proverb. 21.)
F parœcia sua redditur, qui verba atque sermones ex una domo in aliam defert: vir autem prudens, quietem atque silentium amat. Ne cellam ingrediaris fratris tui, antequam ad ostium pulses: non enim quieti congruit perturbatio. Sagax atque intelligens Præfectus animas junget fratrum suorum in correptione & disciplina Domini: qui autem contemnit, detrimentum patietur. Honorem senibus deferto



http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0325
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg